# ΕΚ ΤΟΥ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ ΤΟ ΑΝΑΓΝΩΣΜΑ

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς
τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.
2. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν·
3. Πάντα δι᾿ Αὐτοῦ ἐγένετο, καὶ χωρὶς
Αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν.
4. Ἐν Αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς
τῶν ἀνθρώπων·
5. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ
σκοτία αὐτὸ οὐ κατέλαβεν.

6. Ἐγένετο ἄνθρωπος, ἀπεσταλμένος παρὰ
Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης·
7. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρ-
τυρήσῃ περὶ τοῦ Φωτός, ἵνα πάντες πισ-
τεύσωσι δι᾿ αὐτοῦ.
8. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ᾿ ἵνα μαρ-
τυρήσῃ περὶ τοῦ Φωτός·
9. Ἦν τὸ Φῶς τὸ ἀληθινόν, Ὃ φωτίζει
πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν
κόσμον.